μὲν δύο, ξηρὰς δὲ δύο θερμότητι καὶ ψυχρότητι διῃρημένας.

Cap. III. Ἃ μὲν οὖν οἱ χαριέστατοι τῶν πρὸ ἡμῶν ἰατρῶν τε καὶ φιλοσόφων εἰρήκασι, ταῦτ᾽ ἐστίν. ἃ δ᾽ ἐγὼ παραλιπεῖν αὐτοὺς νομίζω, λέγειν ἤδη καιρός. | ἓν μὲν δὴ καὶ 519 πρῶτον, ὅτι τὴν εὔκρατον, ὥσπερ οὐχ ἁπασῶν τῶν εἰρημένων ἀρετῇ θ᾽ ἅμα καὶ δυνάμει προὔχουσαν, ἐπελάθοντό τε καὶ τελέως παρέλιπον, ὥσπερ οὐδ᾽ ὅλως οὖσαν, καίτοι μηδὲ φθέγξασθαί τι χωρὶς ἐκείνης ὑπὲρ τῶν ἄλλων δυνάμενοι. τὸ γοῦν ἐν τῇ θερμῇ κράσει πλεονεκτεῖν τὸ θερμὸν ἔν τε τῇ ψυχρᾷ τὸ ψυχρὸν οὐδ᾽ ἐπινοῆσαι δυνατὸν ἄνευ τοῦ προτέραν ὑποθέσθαι τὴν εὔκρατον. οὐδὲ γὰρ οὐδὲ τὴν ὑγιεινὴν δίαιταν εἰς ἄλλο τι βλέποντες ἐξευρίσκουσιν ἢ εἰς τὴν εὔκρατον ἐκείνην φύσιν, τὸ μὲν θερμότερον τοῦ δέοντος σῶμα κελεύοντες ἐμψύχειν, τὸ δ᾽ αὖ ψυχρότερον θερμαίνειν, ὡσαύτως τὸ μὲν ὑγρότερον ξηραίνειν, τὸ δὲ ξηρότερον ὑγραίνειν, ἀντεισάγοντες ἀεὶ δηλονότι τῷ πλεονάζοντι τὸ λεῖπον, ὡς εὔκρατόν τινα καὶ μέσην ἐργάσασθαι κατάστασιν. ἣν οὖν ἀεὶ μεταδιώκουσι καὶ πρὸς ἣν ἀποβλέποντες ἐπανορθοῦνται τὰς δυσκράτους, ἐγὼ μὲν ἠξίουν ἁπασῶν πρώτην λέγεσθαι πρὸς αὐτῶν. οἱ δ᾽ ἄρα τοσοῦτον ἀποδέουσι τοῦ μεμνῆσθαι πρώτης, ὥσθ᾽ | ὅλως παραλείπουσιν αὐτήν. ἀλλ᾽ οὐ παρα- 520 λέλειπται, φασί τινες ἐξ αὐτῶν, ἐν γὰρ τῇ θερμῇ καὶ ὑγρᾷ περιέχεται. καὶ πῶς οὐχὶ πέντε λέγετε τὰς πάσας εἶναι κράσεις, ἀλλὰ τέτταρας, εἴπερ τῆς ἀρίστης μέμνησθε; δυοῖν γὰρ θάτερον, ἢ τῶν δυσκράτων ἀνάγκη παραλελεῖφθαι μίαν ἢ τὴν εὔκρατον. ἐγὼ μὲν δὴ σαφῶς οἶδα τὴν εὔκρατον αὐτοὺς παραλιπόντας ἐξ ὧν ἀξιοῦσιν. ἐπειδὰν γὰρ θερμὴν καὶ ξηρὰν ἢ ψυχρὰν καὶ ὑγρὰν ἤ τιν᾽ ἄλλην λέγωσι κρᾶσιν,

6 εὔκρατον L εὔκρατον φύσιν cett. ‖ οὐχ ἁπασῶν τῶν εἰρημένων LMV οὐκ O ‖ 7 προέχουσαν L προὔχουσαν cett. ‖ 8 οὐδ᾽ LMV μηδ᾽ O ‖ 10 ἔν τε L ἢ ἐν cett. ‖ 11 δυνατόν ἐστιν L ‖ προτέραν LMV πρότερον O ‖ ὑποθέσθαι LMV ἐπιθέσθαι O ‖ 13 εἰς post ἢ add. L² om. cett. ‖ 15 post ὡσαύτως add. δὲ MOV ‖ 22 πρώτης LMV ταύτης O ‖ ὅλην LOV ‖ αὐτήν om. O ‖ 23 φασί τινες ἐξ αὐτῶν LV φασὶν ἔνιοί τινες ἐξ αὐτῶν M φ. ἐξ αὐ. ἔνιοι O ‖ 28 γὰρ om. LMV ‖ 29 ἢ (ante ψυχρὰν) M καὶ cett.